## 50 (48 B.)

*Ὅτ᾽ ἐγὼ πίω τὸν οἶνον,*
*τότ᾽ ἐμὸν ἦτορ ἰανθέν*
*⟨μέλος⟩ ἄρχεται λιγαίνειν,*
*⟨ἀναβάλλεται δὲ⟩ Μούσας.*
*ὅτ᾽ ἐγὼ πίω τὸν οἶνον,*
*ἀπορίπτονται μέριμναι*
*πολυφρόντιδές τε βουλαί*
*ἐς ἁλικτύπους ἀήτας.*
*ὅτ᾽ ἐγὼ πίω τὸν οἶνον,*
*λυσιπήμων τότε Βάκχος*
*πολυανθέσιν ⟨μ᾽⟩ ἐν αὔραις*
*δονέει μέθηι γανώσας.*
*ὅτ᾽ ἐγὼ πίω τὸν οἶνον,*
*στεφάνους ἄνθεσι πλέξας*
*ἐπιθείς τε τῶι καρήνωι*
*βιότου μέλπω γαλήνην.*
*ὅτ᾽ ἐγὼ πίω τὸν οἶνον,*
*μύρωι εὐώδεϊ τέγξας*
*δέμας, ἀγκάλαις δὲ κούρην*
*κατέχων, Κύπριν ἀείδω.*
*ὅτ᾽ ἐγὼ πίω τὸν οἶνον,*
*ὑπὸ κυρτοῖσι κυπέλλοις*
*τὸν ἐμὸν νόον ἁπλώσας*
*θιάσωι τέρπομαι κούρων.*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408079479/44 UNIVERSITÄT LEIPZIG